GNOMICA I

SEXTI PYTHAGORICI
CLITARCHI
EVAGRII PONTICI SENTENTIAE

AB

ANTON(IO) ELTER

EDITAE

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MDCCCXCII

INDEX SCHOLARVM

QVAE

SVMMIS AVSPICIIS

REGIS AVGVSTISSIMI

G V I L E L M I II

IMPERATORIS GERMANICI

IN VNIVERSITATE FRIDERICIA GVILELMIA RHENANA

PER MENSES HIBERNOS A. MDCCCLXXXXI—LXXXXII

A DIE XVI M. OCTOBRIS

PVBLICE PRIVATIMQVE HABEBVNTVR

Insunt SEXTI Pythagorici sententiae cum appendicibus
ab Antonio Elter editae
pars I Sexti sent. 1—451 cum versione Rufini

BONNAE

EX CAROLI GEORGI TYPOGRAPHEO ACADEMICO

RECTOR ET SENATVS

VNIVERSITATIS FRIDERICIAE GVILELMIAE RHENANAE

CIVIBVS

S.

Sexti sententiarum primus meminit — nam de Seneca dubia res est (v. ad s. 231) — Origenes c. Cels. p. 397 (c. a. p. Chr. n. 250): ὑπομνησθῆναι χαριεστάτης γνώμης ἣ καὶ οἱ πολλοὶ τῶν χριστιανῶν ἀναγεγραμμένῃ ἐν ταῖς Σέξτου γνώμαις ἐντυγχάνουσιν (v. ad s. 109) et in Matth. 19, 3: φησὶ δὲ Σέξτος ἐν ταῖς γνώμαις βιβλίῳ φερομένῳ παρὰ πολλοῖς ὡς δοκίμῳ (v. ad s. 13. 273). deinde 'in Latinum vertit' Sextum, 'quem Sextum ipsum esse tradunt, qui in urbe Roma Xystus vocatur, episcopi et martyris gloria decoratus', Rufinus Aquileiensis, de cuius opera haec Hieronymus in Ierem. 4, 22 et epist. ad Ctesiph. (a. 415): 'miserabilis Grunnius Sexti Pythagorei hominis gentilissimi unum librum interpretatus est in Latinum divisitque eum in duo volumina et sub nomine sancti martyris Xysti urbis Romanae episcopi ausus est edere': 'in quo iuxta dogma Pythagoricorum, qui hominem exaequant deo et de eius dicunt esse substantia, multa de perfectione dicuntur, ut qui volumen philosophi nesciunt sub martyris nomine bibant de aureo calice Babylonis'; contra 'nulla Christi, nulla spiritus sancti, nulla dei patris, nulla patriarcharum, prophetarum et apostolorum fit mentio et hunc librum solita temeritate et insania Anulum nominavit, qui per multas provincias legitur et maxime ab his qui ἀπάθειαν et impeccantiam praedicant' (i. e. Pelagianis); 'ita lectorem obsecro ut nefarium librum abiciat' sqq. Rufini versionem ipsius Pelagii et Sextum Romanum episcopum esse aliquamdiu putavit Augustinus, 'sed postea legit Sexti philosophi esse, non Xysti christiani' (retract. 2, 42). quantopere deinde lectitatus sit Anulus Rufini testes sunt et codicum (quorum agmen ducit clarissimus codex Salmasianus A qui epitomen servavit) et per saec. XVI et XVII editionum magnus numerus. deinde Syri quoque 'dicta s. Xysti episcopi Romani' verterunt, quae ex codicibus partim saec. VI Syriace edidit Lagarde Analect. Syr. 1858 p. 2—31, 10. Rufini versionem ex codicibus restitutam et Syrorum recensiones Latine redditas coniunctim exhibuit a. 1873 Ioannes Gildemeister, universitatis nostrae per multos annos decus columenque, et ita edidit ut nil nisi ipsa Graeca verba desiderari dixeris. nam paucis sententiis quas aut Porphyrius aut florilegia e Sexto derivaverant exceptis Graeca exempla exstare non videbantur.

Graecas Sexti sententias ipse in codice Vaticano 742 repperi d. XV m. Decembris 1880, eodem die quo primum Ignatio Guidi duce augustam illam bibliothecam ingressus sum. quas cum Bonnam redux Gildemeistero monstrarem valde hortatus est ut quam primum ederem; cur non propere ut solent ediderim si quis quaerit, scito me non uni Sexto operam dedisse, sed inde ab illo tempore omnia quae in bibliothecis servari videbantur gnomologia Graeca conquisivisse, quorum ingentem molem interim ita digestam habeo ut mox singula deinceps quo decet modo proferre queam. accedebat tamen aliud. etenim a. 1876 L. Duchesne Parisinus, vir doctissimus et de studiis meis gnomologicis meritissimus (ultro enim mihi obtulit apographon Melissae Patmiensis cod. 6 saec. XII summa cum cura ab ipso confectum), in Patmiensi codice 263 saec. X Sexti sententias inesse nuntiavit (Arch. des miss. scientif. 3, 3, 440; nunc cf. Sakkelionis catalogum bibl. Patm. 1890 p. 129), quo codice aegre carebam. sed postquam in Bucovinam delatus sum, tandem Sextum ad Vaticanum exemplum constitui ac prelo parabam, cum insperatum mihi misit Henricus Schenkl Vindobonensis Patmiensis apographon Emilio Reisch intercedente a. 1887 sibi comparatum. iam opus reficiendum erat, neque vero morae paenituit. nam ita rem se habere mox intellexi: cum Vaticanus a Rufino saepissime ita discederet ut de Rufini exemplo prorsus desperandum esset, Patmiensis adeo cum Rufiniano congruit ut vel eadem menda Rufinum interpretari videas; Vaticanam autem recensionem Syri secuti sunt, ita ut de Sexti verbis iam sat certo diiudicari possit. itaque nunc iterum Bonnam redux fidem totiens amicis datam solvo,

Sexti sententias edo Pythagoricae illius aevi sapientiae specimen non spernendum, gnomologiorum Graecorum quidem ramenta exilia; quas quomodo edendas putaverim paucis significabo.

Rufinus vertit Sexti sententias 1—451, in Patmiensi et Vaticano atque Syris plura exstant quae sine distinctione continuantur, ut Graecorum sint 1—610, Syrorum quos Gildemeister appendicis loco composuit II 1—587, I (qui tamen epitomen solam exhibet) 1—555. quorum tamen condicio non prorsus eadem est, nam et codices differunt et variae partes facile distinguuntur. deinde et Syrorum recensiones et Patmiensis ordinem praebent maxime lacerum et confusum ut de his quoque rebus quaerendum sit (cf. ad s. 262. 379. 413 al.). iam ad verba Sexti constituenda cum praeter Graecos codices versiones Latinas et Syriacas adhibendas esse appareat, tamen non ita comparatae sunt, ut quid in Graeco exemplo legerint protinus elicias. Rufinus quidem sat religiose rem egit et quasi verbum verbo reddidit. quae res cum egregium exemplum sit quomodo illa aetate Graeca verba in Latinum vertere soliti sint, Rufinum integrum proposui, simul ut monstrarem qua ratione Rufini verba in codicibus tradita essent et quomodo vel Graecorum ope emendanda. velut quod s. 309 est in codicibus 'nihil tale verum post deum' sqq. = οὐδὲν οὕτως ἐλεύθερον μετὰ θεόν, scribendum erat 'nihil tam liberum post deum', s. 289 'ore prius deum habeto in mente quam respiras' = συνεχέστερον νόει τὸν θεὸν ἢ ἀνάπνει, est 'crebrius', s. 5 'deo studens fidelis esse' = ἐπιτηδεύων οὖν πιστὸς εἶναι nil aliud nisi 'ideo', s. 393 'mentiri in vita decipere est et decipi' = ψεύδεσθαι φυλάττου, ἔστιν γὰρ ἀπατᾶν καὶ ἀπατᾶσθαι i. e. 'mentiri vita' etc. orationis exempla sint 329 'maioris pretii dignum', 206 'poenitebis', 13 'suadet te', 361 'parcius magis' et 366 'praestat magis', 74 'verbum vel ratio' = ὁ λόγος et 126 'oratio vel vota' = εὐχή, 327 'praeveniens' = φθάνει et 401 'ne te praetereat' = μήποτε λάθῃς etc. proposui autem varias lectiones non omnes, nam Gildemeisteri operosam editionem spoliare non licuit, sed selectas ut qui codices (nam est ubi infimi) aut rectum servarint compareret aut sive casu sive coniectura rectiora invenerint. Gildemeisteri codicibus addidi lectiones codicis Atrebatensis (T) saec. X a Ioanne Wrobel collega olim Czernowitzensi benigne commodatas. Rufinum cum Graecis adiungerem, aequum erat in illis Patmiensem potius quam Vaticanum proponere, Vaticanum cum Syris in apparatu congregare — nam his in rebus ne diversas recensiones ex nostro arbitrio misceamus summopere cavendum est.

contra Syros ut integros reciperem a me impetrare non potui, ita enim vertunt (ut fere solent Syri de quibus cf. Ryssel, über den textkritischen Werth der syr. Uebersetzungen griech. Klassiker 1880. 1881, apteque comparantur Analecta orientalia ad poeticam Aristoteleam ed. Margoliouth 1887) ut apicum similitudines tantum sequantur, saepissime ex verbis aut nihil aut male intellectis mira atque inaudita effingant. igitur ceteris discrepantibus quocum facerent ubi facile erat diiudicatu, ne longus essem simplici nota indicavi, adieci praeterea selectas non dico varias lectiones sed versiones et interpretationis ludibria, nam omnes illorum nugas enucleare taeduit.

praeter codices et versiones commemorandi fuerunt illi qui aut Sexti sententiis usi aut cum eis cognatione quadam coniuncti sunt. epitome Sextiana sed peculiari modo ex priore parte et appendice composita est sylloge Clitarchi, quae tamen et ipsa ex variis codicibus restituenda est et infra post appendices edetur. conferendae erant deinde Pythagorae sententiae, ex Syriacis olim a Gildemeistero, Graece a Schenkelio editae, infra item Patmiensis ope denuo edendae, et cum Pythagora Porphyrii epistula ad Marcellam. minora quaedam ibidem accuratius tractabuntur velut Nili et Euagrii collectiones et quae exstant Sextiana in variis gnomologiis et scriptoribus. item Maximum et quae sunt eius generis quibus undique collectis editiones infercire solent prorsus secrevi. ceterum notarum indicem infra adscripsi, apparatum quoad fieri potuit resecui, quem licet contractior videatur obscurum non fore spero. qua autem ratione in edendis Sexti sententiis usus sim, deinde qua arte verterint et Rufinus et Syri interpretes, quid de Rufini codicibus statuendum sint, tum de compositione indole aetate fonte origine Sextiani operis posthac seorsum agetur, nam prolegomena quibus de his rebus fusius exposui, ne libellus modum excederet, segreganda fuerunt. interim priore hoc fasciculo prodeat Sexti sententiarum ea pars quam vertit Rufinus.

Σέξτου γνῶμαι.

1 Πιστὸς ἄνθρωπος ἐκλεκτός ἐστιν ἄνθρωπος.

2 Ἐκλεκτὸς ἄνθρωπος ἄνθρωπός ἐστι τοῦ θεοῦ.

3 Θεοῦ ἄνθρωπος ὁ ἄξιος θεοῦ.

4 Θεοῦ ἄξιος ὁ μηδὲν ἀνάξιον θεοῦ πράττων.

5 Ἐπιτηδεύων οὖν πιστὸς εἶναι μηδὲν ἀνάξιον θεοῦ πράξῃς.

6 Ὀλιγόπιστος ἐν πίστει ἄπιστος.

7a Πιστὸς ἐν δοκιμῇ πίστεως θεὸς ἐν ἀνθρώπου σώματι ζῶντι.

7b Ἄπιστος ἐν πίστει νεκρὸς ἄνθρωπος ἐν σώματι ζῶντι.

8 Πιστὸς ἀληθείᾳ ὁ ἀναμάρτητος.

9 Μέχρι καὶ τῶν ἐλαχίστων ἀκριβῶς βίου.

10 Οὐ γὰρ μικρὸν ἐν βίῳ τὸ παρὰ μικρόν.

11 Πᾶν ἁμάρτημα ἀσέβημα ἡγοῦ.

12 Οὐκ ὀφθαλμὸς οὐδὲ χεὶρ ἁμαρτάνει οὐδέ τι τῶν ὁμοίων, ἀλλ' ὁ κακῶς χρώμενος χειρὶ καὶ ὀφθαλμῷ.

13 Πᾶν μέλος τοῦ σώματος ἀναπεῖθόν σε μὴ σωφρονεῖν ῥῖψον· ἄμεινον γὰρ χωρὶς τοῦ μέλους ζῆν σωφρόνως ἢ μετὰ τοῦ μέλους ὀλεθρίως.

Sententiae Sexti

ex versione Rufini.

1 Fidelis homo electus homo est.

2 Electus homo homo dei est.

3 Homo dei est, qui deo dignus est.

4 Deo dignus est, qui nihil indignum deo agit.

5 Ideo studens fidelis esse nihil, quod deo indignum est, agas.

6 Dubius in fide infidelis.

7 Infidelis in fide homo mortuus in corpore viventi.

8 Vere fidelis est, qui non peccat.

9 Etiam in minimis caute age. [minima.

10 Non est minimum in vita hominis neglegere

11 Omne peccatum inpietatem puta.

12 Non manus aut oculus peccat aut aliquod huiusmodi membrum, sed male uti manu vel oculo.

13 Omne membrum corporis, quod suadet te contra pudicitiam agere, abiciendum; melius est enim sine uno membro vivere quam cum eo puniri.

P = Patmiensis 263 saec. X || R = Rufinus cuius sunt codices AQSCVTGU et WOPBLJM, editiones veteres cwr
V = Vaticanus 742 saec. XIV || X = Syri II versio integra; x = Syri I versionis epitome
Clit. et Pyth. = Clitarchi sententiae et Pythagorae sententiae infra seorsum editae; Porph. = Porph. ad Marc.
z = R codices praeter eos qui singulis locis exc(ipiuntur) reliqui; g = Gildemeisteri editio; P ct. R = P contra R
:— sim. sunt rubricae cod. V; s(ententia), intell(exit), interpr(etatur), contin(uat), dist(inguit), ins(erit), coll(ocat)
v(aria) l(ectio), leg(untur), e coni(ectura), ci. coni(eci vel conicias), scr(ipsi vel scribendum), vid(etur vel ut videtur) etc.

2 τοῦ om. PV f. 1 3 cf. 376 || ὁ om. V 4 Pyth. 45 (Porph. 15) θ. ἄ. σε ποιεῖ τὸ μηδὲν ἀν. θ. εἰπεῖν ἢ πρᾶξαι (ubi θ. ἄξιος ἄνθρ. ὁ θ. ἄξια πράττων v. l.; ἀξίαν σε ποιήσει θ. τὸ μ. ἀν. θ. μήτε λέγειν μήτε πράττειν μήτε πάντως εἰδέναι ἀξιοῦν [seq. 376] Porph.) || θεοῦ om. et ἀνάξιος ὁ μηδὲν ἄξιον V || 'nihil indignum deo' Qc: 'dignum deo' Ag: 'nihil indigne' z 5 'ideo' scr.: om. AQg: 'deo' z (unde 'deo st. dignus esse' PSC); 'igitur' X 6 ἐν πίστει om. vid. X; 'in fide' om. A || 'infidelis' AQ: 'i. est' z 7a om. PR || ζῶντι VX (ex 7b? cf. 82d) 7b 'in fide' AS: om. zg || 'mortuus est' z (et Ps.-Isid.) exc. AQ || 'mortuus est homo qui cum damno suo in corpore vivit' x (post 6, i. e. ἄπιστος ἐν πίστει h. l. om. et 'qui cum damno suo — vivit' de suo finxit) 8 ἐν ἀληθείᾳ V cf. 7 || μὴ ἁμαρτάνων ὁ ἀναμάρτητος P 9 καὶ om. P ct. R || βιοῦ P (item 34) || 'et usque (καὶ μέχρι) ad minimas vitae (βίου) res prudenter agit' (post 8) X 10 Clit. 66 || γὰρ VX: om. PRClit. || inter 10 et 11 ins. 595 X 11 = 297a ubi om. exc. V 12 'non' AQ: 'non enim' z || 'membrum' etiam X || ἀλλὰ τὸ κ. ὁρώμενον ἐν χ. κ. ὀ. V: 'sed id, quod contra legem per haec membra patratur, peccatum est' (i. e. τὸ κ. δρώμενον) X; 'utens' e coni. M mg. c ('peccatum est' in fine, ex mente certe Rufini, add. Vr cf. X) 13 Orig. in Matth. 19, 3 φησὶ δὲ Σέξτος ἐν ταῖς γνώμαις βιβλίῳ φερομένῳ παρὰ πολλοῖς ὡς δοκίμῳ· πᾶν μέρος τὸ ἀναπ. κτλ. || μέρος ubique Orig. || τοῦ σώματος om. Orig.: 'corporis' om. WBLJSCM || ἀναπ. σε] ᾧ τι ἀναίτιον P || 'sine uno' AQGUw: 'cum uno' z (et 'quam cum duobus' JCMcr cf. Mt. 18, 8); non necess. vid. 'sine illo': 'sine uno' etiam X || σωφρόνως om. PR (inde 'puniri' R): X = VOrig. || ἢ μ. (om. τοῦ) μέλους P || ὀλεθρίως ζῆν V: ζῆν om. vid. X; 'perire vel puniri' e coni. G

14 Ἀθανάτους σοι νόμιζε παρὰ τῇ κρίσει καὶ τὰς τιμὰς ἔσεσθαι καὶ τὰς τιμωρίας.

15 Ὁπόσα τοῦ κόσμου ἔχεις, κἂν ἀφέληταί σού τις, μὴ ἀγανάκτει.

16 Σεαυτὸν ἐπιλήψιμον μὴ πάρεχε τῷ κόσμῳ.

17 Χωρὶς τῆς ἐλευθερίας πάντα ἀφαιρουμένῳ σε τῷ πέλας ὕπεικε.

18 Σοφὸς ἀκτήμων ὅμοιος θεῷ.

19 Τοῖς κοσμικοῖς πράγμασιν εἰς αὐτὰ τὰ ἀναγκαῖα [χρῶ.

20 Τὰ μὲν τοῦ κόσμου τῷ κόσμῳ, τὰ δὲ τοῦ θεοῦ τῷ θεῷ ἀκριβῶς ἀποδίδου.

21 Τὴν ψυχήν σου νόμιζε παραθήκην ἔχειν παρὰ τοῦ θεοῦ.

22 Ὅτε λέγεις περὶ θεοῦ, κρίνῃ ὑπὸ θεοῦ.

23 Ἄριστον ἡγοῦ καθαρμὸν τὸ μηδένα ἀδικεῖν.

24 Ψυχὴ καθαίρεται λόγῳ θεοῦ ὑπὸ σοφοῦ.

25 Ἀναίσθητον οὐσίαν μὴ πεισθῇς εἶναί ποτε θεοῦ.

26 Ὁ θεὸς καθὸ νοῦς ἐστιν αὐτοκίνητος, κατ' αὐτὸ τοῦτο καὶ ὑφέστηκεν.

27 Θεοῦ μέγεθος οὐκ ἂν ἐξεύροις πτεροῖς πετόμενος.

28 Θεοῦ ὄνομα μὴ ζήτει, οὐ γὰρ εὑρήσεις· πᾶν τὸ ὀνομαζόμενον ὀνομάζεται ὑπὸ τοῦ κρείττονος, ἵνα τὸ μὲν καλῇ, τὸ δὲ ὑπακούῃ· τίς οὖν ὁ ὀνομάσας θεόν; θεὸς οὐκ ὄνομα θεοῦ, ἀλλὰ δόξα περὶ θεοῦ.

29 Μηθὲν οὖν ἐν θεῷ ὃ μὴ ἔστι ζήτει.

30 Θεὸς αὐγὴ σοφὴ τοῦ ἐναντίου ἀνεπίδεκτος.

31 Ὁ θεὸς ὅσα ἐποίησεν, ὑπὲρ ἀνθρώπων αὐτὰ ἐποίησεν.

32 Ἄγγελος ὑπηρέτης θεοῦ πρὸς ἄνθρωπον, οὐ γὰρ δὴ πρὸς οὐδένα ἄλλον· τιμιώτερον οὖν ἄνθρωπος ἀγγέλου παρὰ θεῷ.

14 Inmortales tibi crede manere in iudicio et honores et poenas.

15 Quicquid saeculi habes, etiam auferat tibi quis, non indigneris.

16 Te ipsum reprehensibilem mundo non praebeas.

17 Omnia auferenti abs te cede praeter libertatem.

18 Sapiens vir et contemptor pecuniae similis [deo est.

19 Rebus saeculi in causis tantum necessariis utere.

20 Quae saeculi sunt saeculo, et quae dei sunt deo.

21 Certus esto, quia animam tuam depositum fidele acceperis a deo.

22 Cum loqueris de deo, scito, quia iudiceris a deo.

23 Optimam purificationem putato nemini nocere.

24 Anima purificatur verbo dei per sapientiam.

25 Numquam putes dei substantiam insensibilem esse.

26 Deus sicut mens est, quae sponte movetur, secundum hoc et subsistit.

27 Magnitudinem dei non invenies, etiamsi pen- [nis volare possis.

28 Nomen dei non quaeras, quia nec invenies, quia omne quod nomine compellatur a meliore nomen accipit, ut aliud quidem vocet, aliud autem audiat. Quis ergo est, qui nomen posuit deo? Deus non nomen est dei, sed indicium quod sentimus de deo.

29 Nihil ergo in deo quod non licet quaeras.

30 Deus sapiens lux est incapax contrarii.

31 Quaecumque autem fecit deus, pro hominibus ea fecit.

32 Angelus minister dei ad hominem; non enim ministrat ad nullum; tam pretiosius est homo apud deum quam angelus.

14 Pyth. 8 (πίστευε et om. ἔσεσθαι) ‖ σοι om. V ‖ 'tibi crede' AQcr: 'crede tibi' z ‖ 'manere' A: 'permanere' z fort. recte, 'fore' in usu esse desiit; 'tibi' = σοι   15 cf. 91ᵃ ubi om. R ‖ ὅπως τὰ τοῦ κ. ἔχῃς ὅταν ἀφαιρῆταί V ‖ ὅταν X vid., καὶ R vid. ‖ τι σου P   16 cf. 38 ‖ 'ne irretiaris mundo' X   17 cf. Pyth. 102 συγγενεῖ καὶ ἄρχοντι πλὴν ἐλ. πάντα εἶκε ‖ παντὶ τῷ ἀφ. P; 'omnia' AQOPJMcwr: 'omni' WVTBLSGU; 'omne' X; vid. tamen R παντὶ legisse et propterea τῷ πέλας omisisse ‖ σοι V   18 cf. Pyth. 34ᵃ ζῇ ὡς ἀληθῶς θ. ὁμοίως ὁ αὐτάρκης καὶ ἀκτήμων φιλόσοφος   20 'deo redde' SCw(r)   21 'a. t. depositum' AQVGUr: 'a. t. id est depositum' z ‖ τοῦ om. V   22 om. X   23 μηδὲν V: X = PR ‖ 'nemini nocere' OPJSC(WBM)w: 'noc. nem.' zg   24 cf. ad 97 ‖ 'in verbo' zg exc. Q   25 'insensibile' Ag ‖ θεόν V: X = P   26 = 562 ubi om. P ‖ 'sponte movetur' AQ: 'mov. sp.' z   27—29 acta s. Babylae ap. Gild.   28 Io. Dam. o, 1 e martyrio Babylae (πᾶν γὰρ τὸ ὀ. ὑ. τ. κρ. ὀνομάζ. et post ὄνομα om. θεοῦ) ‖ 'accipit' GUJMcr: 'accepit' zg ‖ 'alius — alius' AQMcrg ‖ 'deus autem' z exc. AQG ‖ 'nomen est dei' QBc: 'n. est deo' zg ‖ 'iudicium' GT, cf. 103 ‖ περὶ θεόν P   29 'in deo' AQSCw: 'in deum' z ‖ 'quod igitur in deo non est' sqq. X   30 'deus' AQcr: om. z   31 ὁ om. V ‖ 'autem' om. G ‖ αὐτὰ om. P: 'ea' om. SGU   32 'minister est' A(QBw)g ‖ πρὸς ἀνθρώπους P(X) ex 31 ct. R ‖ 'non enim ministrat ad nullum' AQ: om. z ‖ πρὸς οὐδὲν P; ἄλλον om. PR; 'nec propter aliud quid' X ‖ 'pretiosius' scr.: 'pretiosus' R codd. g ‖ 'quam angelus' om. AQg

33 Τὸ μὲν πρῶτον εὐεργετοῦν ὁ θεός, τὸ δὲ δεύτερον εὐεργετούμενον ἄνθρωπος.	33 Primus beneficus deus, secundus est is, qui beneficii eius fit particeps homo.
34 Βίου τοιγαροῦν ὡς ὢν μετὰ θεόν.	34 Vive igitur tamquam qui sis post deum et electus ab eo.
35 Ἐκλεκτὸς ὢν ἔχεις τι ἐν τῇ συστάσει σου ὁποῖον θεός· χρῶ οὖν τῇ συστάσει σου ὡς ἱερῷ θεοῦ.	35 Habes in te aliquid simile dei et ideo utere te ipso velut templo dei propter illud, quod in te simile dei.
36 Ἐξουσίαν πιστῷ ὁ θεὸς δίδωσι τὴν κατὰ θεόν· καθαρὰν οὖν δίδωσι καὶ ἀναμάρτητον.	36 Libertatem arbitrii sui permisit deus hominibus sine dubio ut pure et sine peccato viventes similes fiant deo.
37 Αἰδείσθω σου τὸν βίον ὁ κόσμος.	37 Revereatur vitam tuam mundus.
38 Μηδενὶ σεαυτὸν ἐπιλήψιμον δίδου.	38 Nihil admittas, quod tibi inurat notam.
39 Κακῶς ζῶντα μετὰ τὴν ἀπαλλαγὴν τοῦ σώματος εὐθύνει κακὸς δαίμων, μέχρις οὗ καὶ τὸν ἔσχατον κοδράντην ἀπολάβῃ.	39 Male viventes cum e corpore excesserint cruciabit malus daemon, usque quo exigat ab eis etiam ultimum quadrantem.
40 Μακάριος ἀνήρ, οὗ τῆς ψυχῆς οὐδεὶς ἐπιλήψεται εἰς θεὸν πορευομένης.	40 Beatus vir, cuius animam nemo reprehendit ad deum pergentem.
41 Ὃ ἂν τιμήσῃς ὑπὲρ πάντα, ἐκεῖνό σου κυριεύσει.	41 Quicquid super omnia honoraveris, hoc tibi [dominabitur.
42 Τίμα τὸ ἄριστον, ἵνα καὶ ἄρχῃ ὑπὸ τοῦ ἀρίστου.	42 Deum ergo honora super omnia, ut ipse tibi dominetur.
43 Ἀρχόμενος ὑπὸ τοῦ ἀρίστου αὐτὸς ἄρξεις ὧν ἂν προαιρῇ.	43 Si autem dominatum tui gerit deus, ita demum tu dominaberis omnibus.
44 Τιμὴ μεγίστη θεῷ θεοῦ γνῶσις καὶ ὁμοίωμα.	44 Honor summus deo scire eum et imitari.
45 Ὅμοιον μὲν οὐδὲν θεῷ, προσφιλέστατον δὲ τὸ εἰς δύναμιν ἐξομοιούμενον.	45 Simile quidem deo per omnia nihil est, grata tamen ei est inferioris prout possibile est imitatio.
46a Ἱερὸν ἅγιον θεοῦ διάνοια εὐσεβοῦς.	46 Templum sanctum est dei mens pii,
46b Ἄριστον θυσιαστήριον θεῷ καρδία καθαρὰ καὶ ἀναμάρτητος.	et altare optimum est ei cor mundum et sine peccato.
47 Θυσία θεῷ μόνη καὶ προσηνὴς ἡ ἀνθρώποις εὐεργεσία διὰ θεόν.	47 Hostia deo sola et acceptabilis bene facere hominibus pro deo.
48 Ἄνθρωπος κεχαρισμένα θεῷ πράττει ὁ ζῶν εἰς δύναμιν κατὰ θεόν.	48 Deo gratiam praestat homo, qui in quantum possibile est vivit secundum deum.
49 Ὁ μὲν θεὸς οὐδενὸς δεῖται, ὁ δὲ πιστὸς μόνου θεοῦ.	49 Deus quidem nullius eget, fidelis autem so-[lius dei.
50 Ζηλοῖ τὸν οὐδενὸς δεόμενον ὁ τῶν ὀλίγων ἀναγκαίως δεόμενος.	50 Aemulatur ergo illum, qui nullius eget, is qui paucis in rebus necessariis indiget.

33 ὁ om. P ‖ θεός ἐστιν P: 'est deus' SJCcr ‖ εὐεργετούμενον ἄγγελος, τὸ δὲ τρίτον ἄνθρ. P 34 θεοῦ P, cf. 176 ‖ 'post deum secundus' AQGJMOPcrg (et X cf. 82) ‖ 'et electus ab eo' ex 35 R 35 σου ὁπ. . . . σου om., tum ὡς υἱὸς θεοῦ (cf. 58) ἀνύσιμον V; X = P (sed σου prius om. vid. X) ‖ 'al. simile dei' R cf. 442 36—77 desunt X 36 cf. Porph. 11 ‖ ἐξουσίαν πίστεως (male, cf. 60. 375) δίδ. ὁ θεός (om. τὴν κατὰ θεόν) V; R certe = P ‖ 'hominibus deus' AQ Augustin. g 38 cf. 16 ‖ ποίει P, inde R (fort. habuit etiam μηδὲν) 39 cf. Mt. 5, 26 ‖ ζῶντι P ‖ εὐθυνεῖ R vid.; εὐθύνοι κακῶς V ‖ μέχρι σοῦ P ‖ 'novissimum quadrantem' (ut Itala et Vulg.) AQJMcrg 40 πορευομένης παρὰ θεῷ V 41 ὃ ἐάν τι μισεῖς P ‖ 'supra' g ‖ ἐκεῖνός P 42 τὸν ἄριστον PR (cf. 246) 43 αὐτὸς om. P ‖ ἂν om. V 44 cf. 148. 578 45 ἐλέου δ. μ. οὐ., πρ. V ‖ 'per omnia' om. G 46 'dei' Q: 'deo' zg 47 'deo sola' AQ: 'sola deo' z ‖ καὶ] ἡ V ('et' om. c) ‖ ἡ om. P ‖ ἡ ὑπὸ ἀνθρώπου εἰς ἄνθρωπον διὰ θ. εὐεργ. V 48. 49 cf. 381. 382 49 Clit. 4 (ὁ δὲ σοφὸς) Pyth. 44a (Porph. 11) θεὸς (μὲν γὰρ add. Porph.) ὁ οὐδ., σοφὸς δὲ μ. θ. ‖ πιστὸς καὶ σοφὸς P ct. RVx ‖ τοῦ θεοῦ V et Clit. v. l. ‖ 'dei solius' AQVrg 50 cf. Clit. 11 ζήλου τὸν

51 Ἄσκει μέγας μὲν εἶναι παρὰ θεῷ, παρὰ δὲ ἀνθρώποις ἀνεπίφθονος.

52 Χρηστὸς ὢν εἰς τοὺς δεομένους μέγας ἂν εἴης παρὰ θεῷ.

53 Ἀνδρὸς σοφοῦ ζῶντος μὲν ὀλίγος ὁ λόγος παρὰ ἀνθρώποις, τελευτήσαντος δὲ τὸ κλέος ᾄδεται.

54 Τὸν χρόνον ὃν ἂν μὴ νοήσῃς τὸν θεόν, τοῦτον νόμιζέ σοι ἀπολωλέναι.

55 Τὸ μὲν σῶμά σου μόνον ἐπιδημείτω τῇ γῇ,
ἡ δὲ ψυχὴ ἀεὶ ἔστω παρὰ θεῷ.

56 Νόει τὰ καλά, ἵνα καὶ πράττῃς τὰ καλά.

57a Ἔννοια ἀνθρώπου θεὸν οὐ λανθάνει.

57b Ἔστω σου ἡ διάνοια καθαρὰ κακοῦ παντός.

58 Ἄξιος ἔσο τοῦ ἀξιώσαντός σε εἰπεῖν υἱὸν καὶ πρᾶττε πάντα ὡς υἱὸς θεοῦ.

59 Θεὸν πατέρα καλῶν ἐν οἷς πράττεις τούτου μέμνησο.

60 Ἁγνὸς ἀνὴρ καὶ ἀναμάρτητος ἐξουσίαν ἔχει παρὰ θεῷ ὡς υἱὸς θεοῦ.

61 Ἀγαθὴ διάνοια χῶρος θεοῦ.

62 Κακὴ διάνοια χῶρός ἐστιν κακῶν.

63 Τὸν ἀδικοῦντα τοῦ ἀδικεῖν ἀπαλλάττων κολάζοις ἂν κατὰ θεόν.

64 Ἄσκει μὴ τὸ δοκεῖν ἀλλὰ τὸ εἶναι δίκαιος· τὸ δοκεῖν γὰρ ἕκαστον τοῦ εἶναι ἀφαιρεῖται.

65 Τίμα τὸ δίκαιον δι' αὐτό.

66 Οὐκ ἂν λάθοις θεὸν πράττων ἄδικα, οὐδὲ γὰρ διανοούμενος.

67 Σώφρων ἀνὴρ ἁγνὸς παρὰ τῷ θεῷ.

68 Ἀκολασίαν φεῦγε.

69 Εὐλογιστίαν ἄσκει.

70 Κράτει τῶν ἡδονῶν.

51 Satis age magnus quidem esse apud deum, apud homines vero invidiam effugere.

52 Si benignus es erga indigentes, magnus eris apud deum.

53 Sapiens vir, cuius viventis quidem parva est apud homines opinio, defuncti vero gloria praedicatur.

54 Omne tempus quod non de deo cogitas, hoc te computa perdidisse.

55 Corpus quidem tuum incedat in terra,
anima autem semper sit apud deum.

56 Intellege quae sint bona, ut et agas bona.

57 Cogitatio hominis deum non latet,
et ideo cogitatio tua pura sit ab omni malo.

58 Dignus esto eo, qui dignatus est te filium dicere, et age omnia quasi filius dei.

59 Qui deum patrem vocas, hoc in actibus tuis memor esto.

60 Vir castus et sine peccato potestatem accepit a deo esse filius dei.

61 Bona mens chorus est dei.

62 Mala mens chorus est daemonum malorum.

63 Iniustum si inhibeas agere iniuste, hoc est secundum deum punire.

64 Satis age non videri, sed esse iustus; certum est enim vere non esse eum qui videri vult.

65 Honora quod iustum est propter hoc ipsum, quia iustum est.

66 Nequaquam latebis deum agens iniuste, sed ne cogitans quidem.

67 Vir sapiens castus erit deo.

68 Omnem spurcitiam fuge.

69 Semper de bonis loqui stude.

70 Libidinem vince.

μηδενὸς δ. (om. cett.) || δηλοῖ P || 'ergo' om. c || ἐλαχίστων V: x = P || 'in rebus necessariis' R = ἀναγκαίως ('in paucis necessariis' G); ἀναγκαίων x vid. 51 Clit. 5 || μὲν μέγας V: μὲν om. Clit. ('quidem' om. QVc) || τῷ θεῷ Clit. || 'vero homines' c || 'effugere' AQ: 'fuge' z 52 'erga' QOVTB: 'apud' zg || δεηθέντας V || εἴη P ct. R 53 Clit. 137 σοφοῦ ζ. δόξα (cf. R) μὲν ὀλίγη, μετὰ δὲ τὴν τελευτὴν τὸ κλ. ᾄ. || ζῶντος μὲν om. V || ὁ λόγος ὀλίγος P ct. R || 'sapientis viri viv.' e coni. w 54 't. quod' G: 't. quo' OPU: 't. in quo' zg || νοῇς P || σοι ἀπολωλεκέναι P et R vid.: x = V 55 Clit. 7 a v. ἡ ψυχή σου κτλ.; cf. 143. 418 || μόνον om. R || ψυχή σου VClit. ('an. autem tua' e coni. JGU) 56/57 'ut et bene agas bona. Cogitatio' sqq. Q: 'ut bene agas. Bona cogitatio' sqq. zg ('bona' om. Ag) 56 πράττεις P 57a Clit. 8 διάνοια (ex 57b) κτλ. || θεὸν οὐ om. V 58 cf. 221 || 57b. 58 contin. P, hinc ἔσῃ et πράττε οὖν (om. καὶ) P ct. R || ἔσω V || σε om. P ct. R; 'dign. est te' AQ: 'te dign. est' z || καὶ εἰπόντος V || υἱόν] κυρίου θεοῦ P || πάντα πράττε V 59 = 222; om. V || 'qui' Ac: 'quod' z || 'huius' cr: 'hoc' (τοῦτο) etiam 222 R 60 om. V || ἔχῃ P; 'accepit' etiam Augustin.: 'accipit' G: 'accipiet' Qg, cf. 375 61. 62 cf. Porph. 21 χώρημα γὰρ ἡ ψυχὴ ἢ θεῶν ἢ δαιμόνων (cf. R; 'malorum' om. SGU); χορός intell. R 63 ἐὰν P 64 τὸ μὴ P || γὰρ om. V ('enim' om. c) || 'vere' A: om. z || διαφέρεται intell. vid. R || 'nam fallaci simulatione inveterata fraudaris quin vere iustus sis' X 65 cf. 189 66 οὐ γὰρ διαν. ἐκφεύξῃ V cf. 71b || 'nec' g 67 σοφὸς ἀ. R || ἁγνὸς] ἀγαθὸς P ct. R || τῷ om. V 70 'libidinem' singul. ut 276. 411. 448

71a Νίκα τὸ σῶμα ἐν παντί.
71b Ἐκ φιληδονίας ἀκολασίαν οὐκ ἐκφεύξῃ.
72 Φιληδόνου ὁ θεὸς οὐκ ἀκούει.
73 Τρυφῆς πέρας ὄλεθρος.
74 Ὁ λόγος σου τῶν πράξεων προηγείσθω.
75a Δεινότατόν ἐστιν πάθεσι δουλεύειν.
75b Ὅσα πάθη ψυχῆς, τοσοῦτοι δεσπόται.
76 Φιλοχρηματία φιλοσωματίας ἔλεγχος.
77 Κτῶ τὰ τῆς ψυχῆς ὡς βέβαια.
78 Ἀποτάττου τοῖς τοῦ σώματος, ἐφ' ὅσον δυνατὸς εἶ.

79 Μόνον οἰκεῖον ἡγοῦ τὸ ἀγαθόν.
80 Ὁποῖος θέλεις εὐχόμενος εἶναι, ἀεὶ ἔσο.
81 Ὅταν τὰ κάλλιστα τῶν κτημάτων εὐλόγως εἰς βόρβορον ῥίψῃς, τότε καθαρὸς ὢν αἰτοῦ τι παρὰ τοῦ θεοῦ.
82a Ὁποῖος θέλεις εἶναι παρὰ θεῷ, ἤδη ἔσο.
82b Τῶν τοῦ κόσμου μεταδιδοὺς καταφρόνει.
82c Μέμνησο ὢν μετὰ θεόν.
82d Ψυχὴ ἀνθρώπου θεοσεβοῦς θεὸς ἐν σώματι.
82e Μιαίνει τὸν θεὸν ὁ κακῶς νοῶν τὸν θεόν.
83 Γλῶσσα βλάσφημος διανοίας ἔλεγχος κακῆς.
84 Γλῶσσαν εὔφημον κέκτησο, μάλιστα δὲ περὶ θεοῦ.

85 Κακῶς μὲν ποιῆσαι θεὸν δυνατὸς οὐδείς, ἀσεβέστατος δὲ ὁ βλασφημῶν· δυνατὸς γὰρ ὢν κἂν ἐποίησεν.
86a Κρηπὶς εὐσεβείας ἐγκράτεια.
86b Τέλος εὐσεβείας φιλία πρὸς θεόν.
87 Χρῶ τῷ εὐσεβεῖ ὡς σαυτῷ.
88 Εὔχου σοι γενέσθαι μὴ ἃ βούλει, ἀλλ' ἃ δεῖ καὶ συμφέρει.

71 Contine corpus in omnibus, quia ex deliciis et voluptatibus non effugies [spurcitiam.
72 Voluptuosum deus non exaudit.
73 Deliciarum finis corruptio.
74 Verbum vel ratio praecedat actus tuos.
75 Perniciosum est servire vitiis.
Quanta vitia habet anima, tot et dominos.
76 Amor pecuniae amorem carnalium indicat.
77 Adquire possessionem firmam animae virtutem.
78 Renuntia rebus corporis, dum adhuc potes et quantum potes.
79 Hoc solum tibi proprium ducito, quod bonum [est.
80 Qualis vis esse, cum oras deum, semper talis esto.
81 Cum optima quaeque abieceris praedam, tunc purificatus pete quod vis a deo.
82 Qualis vis esse apud deum, iam nunc esto talis. Cum distribuis ea quae mundi sunt, et ea despice, tamquam qui te scias esse post deum.

83 Lingua maleloquax indicium mentis est malae.
84 Insuesce linguam tuam bene proloqui, et maxime cum de deo sermo fit.
85 Male quidem facere deo nemo potest, inpius autem est qui blasphemat; hoc enim solum quod potuit fecit.
86 Fundamentum pietatis continentia, culmen autem pietatis amicitia ad deum.
87 Pium hominem habeto tamquam te ipsum.
88 Opta tibi evenire non quae vis, sed quae expedit.

71b Clit. 10 ἐκ φ. ἀκολασία φύεται 73 πέλας x 74 Porph. 34 ἡγείσθω τοίνυν πάσης ὁρμῆς ὁ λόγος || 'non verbum sed ratio' cr || σου τῶν ὁρμῶν σου V cf. Porph.; 'actum' x; male πράξεων PR ex 95b 75 cf. Porph. 34 ὅτι καὶ χαλεπώτερον δουλεύειν πάθεσιν ἢ τυράννοις (= Pyth. 23). ἀδύνατον δ' εἶναι ἐλεύθερον τὸν ὑπὸ παθῶν κρατούμενον (= Pyth. 25 Clit. 86). ὅσα γὰρ π. ψ., τ. καὶ ὠμοὶ δεσπόται (= Pyth. 76 Clit. 85, sed γὰρ et καὶ ὠμοὶ om. Clit.). Clitarchus quod ponit post 83 i. e. Sext. c. 252, mire convenit cum x qui p. 5, 11 i. e. post 262. quodsi x 'tot eius duri domini', ὠμοὶ certe a s. 75 alienum || τῆς ψυχῆς P || 'quanta' AQGU: 'quia quot' z 76 cf. Pyth. 117c (Porph. 14) ὁ δὲ φιλοσώματος καὶ φιλοχρήματος 77 ut supra AQVTGU ('animae, virtutem' g): 'a. p. firmam. quid est firma possessio nisi virtus animae' z; voluit 'ut possess. f.' R; simplicius x 78 'quia vel vi se ab eis expedire oportet' x (intell. ἐπεὶ ὅσον δυνατὸν δεῖ) 79 = 593 || 'proprium' Q: om. z || 'dicito' Qg || νόμον οἰκ. intell. X 81 ὡς βόρβορον X || εὐλόγως εἰς βόρβορον] 'praedam' Qg: 'praedia' z, ci. 'in paedorem' vel 'praedicans' (εὐλογῶν), 'pro merda' (cf. X) Eberhard || 'velut purificatus' Qg || τοῦ om. V 82 post 'sunt' interpungunt R codd. g: a 'cum' novam sent. inc. edd. = PVX 82a 'ut semper sis stude' X cf. 80, sed cave credas Sexti ordinem turbatum esse 82c μετὰ θεοῦ V 82d. e om. R, hab. X || μὴ αἴνει P || ποιῶν X 83 κακῆς ἔλεγχος V cf. 163 84 δὲ om. P et X vid. cf. 325 85 ἀδύνατον οὐδεὶς θεὸν P || 'est' om. O: 'et' P || δυνατὸς γὰρ κτλ. om. V || γὰρ om. vid. X || κἂν om. vid. R || ἐποίησας P 86 Clit. 13 ἐγκρ. δὲ (δὲ om. Max.) κρ. εὐσ., om. cett.; cf. 371 || κριτὴς V || 'pietatis' AP(S): 'p. est' bis z || 'continentia ita animum a peccatis tuetur (ἀσεβείας) ut crepida pedem tegit' X (rectius 371) 87 ἑαυτῷ P 88 Clit. 14 ||

89 Ὡς θέλεις χρήσασθαί σοι τοὺς πέλας, καὶ σὺ χρῶ αὐτοῖς.

90 Ἃ ψέγεις, μηδὲ ποίει.

91 Μηδείς σε πειθέτω ποιεῖν τι παρὰ τὸ βέλτιον.

91ᵃ Ἃ δέδοταί σοι, κἂν ἀφέληταί σού τις, μὴ ἀγανάκτει.

92 Ἃ δίδωσιν ὁ θεός, οὐδεὶς ἀφαιρεῖται.

93 Σκέπτου πρὸ τοῦ πράττειν καὶ ἃ πράττεις ἐξέταζε, ἵνα μηδὲν ποιῇς ὃ μὴ δεῖ.

94 Ὃ πράττων οὐκ ἂν θέλοις εἰδέναι τὸν θεόν, τοῦτο μὴ πράξῃς.

95ᵃ Πρὸ παντὸς οὗ πράττεις νόει τὸν θεόν.

95ᵇ Φῶς σου τῶν πράξεων προηγείσθω.

96 Μεγίστη ἀσέβεια εἰς θεὸν ἀνθρώπου κάκωσις.

97 Ψυχὴ φωτίζεται ἐννοίᾳ θεοῦ.

98 Αὐτάρκειαν ἄσκει.

99 Τῶν ἀπάντων μὴ ὀρέγου.

100 Τῶν καλῶν ἐκπόνει τὰ αἴτια.

101 Τὰ τοῦ σώματος μὴ ἀγάπα.

102 Ἀκάθαρτον ἄνθρωπον ποιεῖ πρᾶξις αἰσχρά.

103 Καθαίρει ψυχὴν ἀνοήτου δόξης ἔλεγχος.

104 Ὁ θεὸς ἀνθρώπων καλῶν πράξεων ἡγεμών ἐστιν.

105 Μηδένα ἐχθρὸν ἡγοῦ.

106ᵃ Ἀγάπα τὸ ὁμόφυλον.

106ᵇ Ἀγάπα τὸν θεὸν καὶ πρὸ τῆς ψυχῆς σου.

107 Οὐ χαλεπὸν ἁμαρτωλοὺς ἐπὶ τὸ αὐτὸ γενέσθαι μὴ ἁμαρτάνοντας.

108ᵃ Τροφαὶ πολλαὶ ἁγνείαν ἐμποδίζουσιν.

108ᵇ Ἀκρασία σιτίων ἀκάθαρτον ποιεῖ.

89 Qualem vis esse tibi proximum tuum, talis et tu esto proximis tuis.

90 Quae culpas, facere noli.

91 Nulli suadenti adquiescas petere, quod non est bonum.

92 Quae tibi deus dat, nullus auferre potest.

93 Delibera priusquam agas, et antequam agas pervide quale sit quod facturus es.

94 Si quid non vis scire deum, hoc ne agas nec cogites.

95 Priusquam agas quodcumque agis, cogita deum, ut lux eius praecedat actus tuos.

96 Grandis inpietas in deum hominem affligere.

97 Anima inluminatur recordatione dei.

98 Contentus esse mediocribus stude.

99 Noli omnia concupiscere.

100 Occasiones bonorum perquire etiam cum labore.

101 Noli diligere ea, quae corporis sunt.

102 Inmundum hominem facit actus turpis.

103 Purgatur anima insipientis, cum arguitur intrinsecus latens sensus eius.

104 Deus in bonis actibus hominibus dux est.

105 Neminem inimicum deputes.

106 Dilige omne quod eiusdem tecum naturae est, deum vero etiam plus quam animam tuam dilige.

107 Pessimum est peccatoribus in unum convenire, cum peccant.

108 Multi cibi inpediunt castitatem, et incontinentia ciborum inmundum facit hominem.

γίνεσθαι P ‖ ἃ] ὡς P; 'qui — qui' A (i. e. 'quae'): 'quod — quod' zg cf. 141 ‖ καὶ] ἢ V ‖ 'quod vitae tuae utile esse debet' X; καὶ συμφέρει om. Clit. et R vid. (cf. 141. 153); δεῖ καὶ om. »φιλοσ. λόγοι« ed. Schenkl n. 21 89 = 210ᵃ ubi om. R
90 μηδὲ ποίει om. V (ἃ ψ. cum 91 coniunctis) ‖ 'quod' AUg ‖ 'culpas' AVGU: 'culpae est' z 91 ποιεῖν om. V: 'facere' X: 'petere' (αἰτεῖν sc. 'a deo' cf. 128) R (sed 'facere' S: 'patrare' ci. Gild.) ‖ βέλτιστον P 91ᵃ cf. 15, om. R ‖ ἃ δίδωσιν ὁ θεὸς (ex 92) et om. σού τις P 92 = 404 (ὅσα); Clit. 15 ἃ δ. παιδεία ταῦτα οὐδείς σε ἀφ. cf. Pyth. 3ᵇ (Porph. 12) δῶρον γὰρ θεοῦ πᾶν ἀναφαίρετον ‖ 'nullus auferre' BGcr et 405: 'auf. nullus' zg 93 cf. 153; Clit. 16 unice recte et quae huic parti conveniant: καὶ et ἐξέταζε om. PV quo facto μηδὲν π. ὃ abiit in μὴ δὶς π. ἃ PV (cf. ad 153): καὶ et ἐξέταζε ('pervide') habuit R, 'antequam' corruptum ('ne nequam'?); ἐξέταζε et μὴ δὶς X ‖ 'delibera' AVUr et 153: 'libra' z ‖ 'pervide' AWO(PTw): 'provide' vel 'praevide' z ‖ ποιήσῃς V 94 πράττων om. RX ‖ ἔχοις V; 'nihil quod deo non placere scis facias' X (i. e. ἔχοις εἰδέναι = 'scis', 'placere' de suo add., vix latet ἑαδέναι) ‖ 'nec cogites' de suo add. R 95ᵇ ante φῶς add. ὅπως γνῷς ἀνθρώπων κάκωσιν V (cf. 96) ‖ 'et is (95ᵃ) efficiet, ut illucescat tibi cognitio omnium quae te facere oportet' x (i. e. = P); diversa X; cf. 74 ‖ 'ut' (cf. Vx) om. c: scr. vid. 'et' 96 ἀνθρώπων P et. R 97 Clit. 17 Porph. 11 (καθαίρεται uterque cf. s. 24) ‖ 'cogitatione' SP[1] cf. 95 (νόει). 57 98 = 334, om. P ‖ 'de med.' z exc. A ('esto. De m.' z exc. AGUJcw)
99 ἀτόπων V: 'ea quae remota abs te sunt' (i. e. ἀτόπων!) X: 'quae usum tibi necessarium excedunt' x 100 'et e bonis elige tibi meliora et e melioribus perfecta' X (intell. ἐκλόγει pro ἔκλεγε τὰ ἄρτια) 103 καθαιρεῖ ψυχῆς P (et X?)
104 om. V; 102. 113. 104. 119 x; cf. 166. 304. 305 ‖ 'hominum' X = P: 'hominibus' x = R cf. 304 106 'omnem qui' A(c)g ‖ σου om. P et. R 107 om. P ‖ οὐ et μὴ praeteriit R; 'haud indecorum peccatoribus est convenire in unum quando resipiscere volunt a peccatis' X; οὐ del. vid. 108ᵃ 'cibi multi' V ‖ ἄγνοιαν V: ἁγνίαν P 108ᵇ :— '(Α)κρασία V

109 Ἐμψύχων ἁπάντων χρῆσις μὲν ἀδιάφορον, ἀποχὴ δὲ λογικώτερον.

110 Οὐ τὰ εἰσιόντα διὰ τοῦ στόματος σιτία καὶ ποτὰ μιαίνει τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἀπὸ κακοῦ ἤθους ἐξιόντα.

111 Ὃ ἂν . . ἡττώμενος σιτίον προσφέρῃ μιαίνει σε.

112 Πλήθει ἀρέσκειν μὴ ἐπιτήδευε.

113 Παντὸς οὗ καλῶς πράττεις αἴτιον ἡγοῦ τὸν θεόν.

114 Κακῶν θεὸς ἀναίτιος.

115 Μὴ πλεονεκτῶ ὧν τὸ σῶμα ἐπιζητεῖ.

116 Ψυχὴν χρυσὸς οὐ ῥύεται κακῶν.

117 Οὐ γέγονας ἐντρυφήσων τῇ τοῦ θεοῦ παρασκευῇ.

118 Κτῶ ἃ μηδείς σου ἀφαιρεῖται.

119 Φέρε τὰ ἀναγκαῖα ὡς ἀναγκαῖα.

120 Μεγαλοψυχίαν ἄσκει.

121ª Ὧν καταφρονῶν ἐπαινῇ εὐλόγως, τούτων μὴ περιέχου.

121ᵇ Ἐφ' οἷς εὐλόγως μεγαλοφρονεῖς, ταῦτα κέκτησο.

122 Εὔχου τῷ θεῷ τὰ ἄξια τοῦ θεοῦ.

123 Τὸν ἐν σοὶ λόγον τοῦ βίου σου νόμον ποίει.

124 Αἰτοῦ παρὰ θεοῦ, ἃ μὴ λάβοις ἂν παρὰ ἀνθρώπου.

125 Ὧν ἡγεμόνες οἱ πόνοι, ταῦτά σοι εὔχου γενέσθαι μετὰ τοὺς πόνους.

126 Εὐχὴ ῥαθύμου μάταιος λόγος.

127 Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, καταφρόνει.

128 Ὃ κτησάμενος οὐ καθέξεις, μὴ αἰτοῦ παρὰ θεοῦ.

109 Animantium omnium usus quidem in cibis indifferens, abstinere vero rationabilius est.

110 Non cibi, qui per os inferuntur, polluunt hominem, sed ea quae ex malis actibus proferuntur.

111 Quicquid cupiditate victus acceperis polluit te.

112 Multitudini placere ne satis agas.

113 In omni quod bene agis auctorem esse deputa [deum.

114 Mali nullius auctor est deus.

115 Non amplius possideas, quam usus corporis [poscit.

116 Aurum animam non eripit de malis.

117 In deliciis positus corporis certum est, quia ignoras illa, quae praeparata sunt a deo.

118 Ea posside, quae nullus possit auferre a te.

119 Fer quod necesse est, sicut necesse est.

120 Magnanimus esse stude.

121 Ea, quae si contemnas recte laudaris, ne retineas.

In quibus probabiliter magnificus eris, haec [optine.

122 Haec posce de deo, quae dignum est praestare deum.

123 Ratio, quae in te est, vitae tuae ipsa sit lex.

124 Ea pete a deo, quae accipere ab homine non potes.

125 In quibus praecedere debet labor, haec tibi opta evenire post laborem.

126 Oratio vel vota pigri sermo vanus.

127 Non oportet contemni ea, quibus etiam post depositionem corporis indigemus.

128 Non petas a deo id, quod cum habueris non perpetuo optinebis.

109 Orig. c. Cels. p. 397 ὑπομνησθῆναι χαριεστάτης γνώμης ἣ καὶ οἱ πολλοὶ τῶν χριστιανῶν ἀναγεγραμμένῃ ἐν ταῖς Σέξτου γνώμαις ἐντυγχάνουσιν οὕτως ἐχούσης· ἐμψύχων χρῆσις μ. ἀ., ἀ. δὲ λογικώτατον ‖ 'esus' coni. Jc ‖ μὲν] μόνον P ‖ ἀδιάφορος P ‖ χρησιμώτερον VX 110 καὶ ποτὰ om. R ‖ μιαίνει] κοινοῖ P ex Mt. 15, 11 ‖ τοῦ κακοῦ ἤ. V ‖ 'actibus' (= πρᾶξις) R corruptum, scr. vid. 'affectibus' 111 'omnis cibus cuius cupiditate vinceris' X: 'cupiditate' in Graecis PV excidit ‖ προσφέρεις P 112 cf. 534; 'nunquam consentiat animus tuus libidinem corporis satiare' X (πάθει, an libere post 111) 113 Clit. 18 (θεὸν ἡγοῦ αἴτιον) Porph. 12 καὶ πάντων ὧν πράττομεν ἀγαθῶν τὸν θεὸν αἴτιον ἡγώμεθα ‖ 'esse' om. Sc 114 Clit. 19 Porph. 12 (post 113) τῶν δὲ κ. .. θεὸς δὲ ἀναίτιος cf. Iambl. v. Pyth. 32 ‖ 'deus auctor est' G 115 :— (Μ)ὴ V; = 602 (ubi om. P) μὴ πλείονα κτῶ κτλ. ‖ πλεονεκτῶ PV 116 τὴν ψυχήν in fine coll. V 117 = 603 ubi om. P ‖ ἐν τρυφῇ ὧν PR et X vid. (inde R quasi esset οὐκ ἔγνωκας s. ἀγνοεῖς τὴν — παρασκευήν cf. 136. 283) 118 (Κ)τῶ V ‖ σου om. ('a te' om. Jc) et ἀφαιρήσεται V 119 φ. τὰ ἀναγκαῖα | μεγαλοψυχίαν V f. 6/6ᵛ 120 Clit. 20 121ª ἀντέχου V (et R? cf. 251) 121ᵇ μέγα φρονεῖς :— Ταῦτα V 122 Porph. 12 (post 114) ὅθεν καὶ εὐκτέον θεῷ τὰ ἄξια θεοῦ 123 σου] σοι V ‖ νόμιμον P ‖ 'lux' GU cf. 95ᵇ 124 :— Αἰτοῦ V; Porph. 12 (post 122) καὶ αἰτώμεθα ἃ μὴ λάβοιμεν ἂν παρ' ἑτέρου ‖ παρ' ἄλλου (cf. Porph.) P et R: X = V 125 om. P; Clit. 21 (εὔχου σοι) Porph. 12 (post 124) καὶ ὧν ἡ. οἱ μετ' ἀρετῆς π., τ. εὐχώμεθα γ. μ. τ. π. ‖ οἱ γεμόνες V 126 Porph. 12 (post 125) εὐχὴ γὰρ κτλ. ‖ 'preces hominis ingenii torpidi' X ‖ 'or. (vel) tota' G(U) 127 om. P; Pyth. 129ª (Porph. 12) . . ἐκείνων καταφρόνει πάντων (ὧν δὴ . . ἀπαλλαγεῖσα οὐ δεηθήσῃ et om. πάντων Porph.) ‖ ὧν τῶν τοῦ V ‖ οὐ om. vid. R, inde mutata sent. 128 inter 131 et 134 x; Clit. 22; Pyth. 3ª (Porph. 12 post 126) ἃ (ἃ δὲ Porph., cf. 124) κτησάμενος (item Porph. pro κτησαμένη!) κτλ. ‖ κτώμενος V et x vid. ‖ τοῦ θεοῦ P adde 121ª ἐπαινεῖ, εὐλόγως τ. P

129 Ἔθιζε τὴν ψυχήν σου μετὰ θεὸν ἐφ' ἑαυτῇ μεγαλοφρονεῖν.
130 Μηθὲν ὧν ἀφαιρήσεταί σε κακὸς ἀνὴρ τίμα.
131 Μόνον ἀγαθὸν ἡγοῦ τὸ πρέπον θεῷ.
132 Τὸ ἄξιον τοῦ θεοῦ καὶ ἀνδρὸς ἀγαθοῦ.
133 Ὃ οὐ συμβάλλεται πρὸς εὐδαιμονίαν θεῷ, οὐδὲ ἀνθρώπῳ.
134 Ταῦτα θέλε, ἃ θέλοι ἂν καὶ ὁ θεός.
135 Υἱὸς θεοῦ ὁ ταῦτα μόνα τιμῶν, ἃ καὶ ὁ θεός.

136 Ἐφ' ὅσον ποθεῖ τὸ σῶμα, ἡ ψυχὴ τὸν θεὸν ἀγνοεῖ.
137 Ὄρεξις κτήσεως ἀρχὴ πλεονεξίας.
138 Ἐκ φιλαυτίας ἀδικία φύεται.

139ᵃ Ὀλίγα πέφυκεν τῇ ψυχῇ τὸ σῶμα ἐνοχλεῖν.
139ᵇ Φιληδονία ποιεῖ σῶμα ἀφόρητον.
140 Πᾶν τὸ πλέον ἀνθρώπῳ πολέμιον.

141 Φιλῶν ἃ μὴ δεῖ οὐ φιλήσεις ἃ δεῖ.
142 Σπουδάζοντά σε περὶ τὰ μὴ καλὰ λήσεται τὰ καλά.
143 Σοφοῦ διάνοια ἀεὶ παρὰ θεῷ.
144 Σοφοῦ διανοίᾳ θεὸς ἐνοικεῖ.
145 Σοφὸς ὀλίγοις γινώσκεται.
146 Ἀπλήρωτος ἐπιθυμία ἅπασα παντός, διὰ τοῦτο καὶ ἄπορος.
147 Τὸ σοφὸν ἀεὶ ἑαυτῷ ὅμοιον.
148 Αὔταρκες πρὸς εὐδαιμονίαν θεοῦ γνῶσις καὶ ὁμοίωμα.
149 Κακοὶ κολακευόμενοι κακίους γίνονται.
150 Ἀφόρητον γίνεται κακία ἐπαινουμένη.
151 Ἡ γλῶσσά σου τῷ νοΐ σου ἑπέσθω.

129 Insuesce animam tuam magnum aliquid de se sentire post deum.
130 Nihil pretiosum ducas, quod potest a te au[ferre homo malus.
131 Hoc solum bonum putato, quod deo dignum est.
132 Quod deo dignum est, hoc et viro bono.
133 Quicquid non convenit ad beatitudinem dei, nec conveniat homini dei.
134 Haec debes velle, quae vult et deus.
135 Filius dei est, qui haec sola pretiosa ducit, quae et deus.
136 Donec in desideriis est caro, anima ignorat [deum.
137 Cupiditas possidendi origo est avaritiae.
138 Cum semet ipsum quis amplius diligit, inde iniustitia nascitur.
139 Naturaliter parum quid corpus molestum est animae, luxuria vero facit corpus intolerabile.
140 Omne quod plus est homini, quam necesse sit, inimicum est ei.
141 Qui amat quae non expedit, non amabit quae [expedit.
142 Qui studium habet erga ea, quae non sunt bona, latebunt eum, quae bona sunt.
143 Sapientis mens semper apud deum est.
144 Sapientis mentem deus inhabitat.
145 Sapiens paucis verbis innotescit.
146 Inexplebilis est omnis cupiditas, propterea et semper indiget.
147 Sapiens semper sibi similis est.
148 Sufficit ad beatitudinem agnitio dei solius et imitatio.
149 Malis qui adulatur, peiores facit.
150 Intolerabilis fit malitia cum laudatur.
151 Lingua tua sensum tuum sequatur.

129 : – Ἔθιζε V || 'tuam' VTGUcr: om. zg || μέγα φρονεῖν ἐφ' ἑαυτῇ V et R vid. coll. 121 130 μηδὲν V || ἀφαιρεῖται PX || 'auferre a te' OPGc 131 = 197 || τῷ θεῷ P 132 τοῦ om. V 133 om. X || οὐ om. et καὶ ἀνθρώπῳ P ct. R ('non' om. c) || θεῷ] 'dei' de suo R 134 cum 128 iungit x; Porph. 13 ταῦτ' οὖν θέλε καὶ αἰτοῦ τὸν θεὸν (cf. 128) ἃ θέλει τε καὶ ἔστιν αὐτός, cf. 'sed velis ab eo petere' sqq. x || θέλοιεν ὁ θ. V 135 μόνον V 136 Porph. 13 (post 134) εὖ ἐκεῖνο γινώσκουσα ὡς ἐφ' ὅσον τις τὸ σ. ποθεῖ καὶ τὰ τοῦ σώματος σύμφυλα, ἐπὶ τοσοῦτον ἀγνοεῖ τὸν θεὸν κτλ. || τὸν om. P 137 Clit. 23 138 φιλαυτίας | Ἡ ἀδικία V; Clit. 24 ἐκ γὰρ φιλαργυρίας κτλ. || 'amplius' om. c || κακία P || γίνεται V 139ᵃ τὸ σῶμα om. X 139ᵇ 'vero' om. Sc || 'insatiabile' (ἀκόρητον = ἀκόρεστον) X cf. 150 140 πολ.] ἀφόρητον (cf. 139ᵇ) V: X = P 141 Clit. 25 || 'quod — quod' zg exc. A cf. 88 142 : – Σπουδάζοντά V || π. τὰ κακὰ VX || λήσῃ P: λήσεταί σε V: 'in te exstincta et deminuta sunt bona' (intell. λήξεται) X || 'l. ei' WLOPBg 143 ante 142 x; cf. 55, 2. 418 || τῷ θεῷ V 145 : – Σοφὸς V; 145 ante 142 Ocr: ante 143 zg, X = PV; Porph. 13 σοφὸς δὲ ἄνθρωπος ὀλίγοις γινωσκόμενος κτλ. (cf. Pyth. 97) || 'verbis' (codd. et Reg. Bened. 7) de suo add. R; 's. vir in paucis i.' e coni. c 146 Clit. 26 ἀπλήρωτον γὰρ (γὰρ om. Max.) ἡ ἐπ., διὰ τ. κ. ἄπορον || ἅπασα, παντὸς P: om. VxClit.: habuit X || 'neque saturantur' (ἄκορος) x et X vid. cf. 139ᵇ 147 ὅμοιον ἑαυτῷ V: 'similis est sibi' GUcr (fort. scr. 'simile'; 'similis' etiam X) 148 cf. 466 || καὶ ὁμοίωμα om. V et X vid., cf. 44. 578 149 Clit. 27 (om. γίνονται) 150 : – Ἀφόρητον V || ἀφόρητος R; 'haud modus est malo' X (ἀόριστον cf. 139ᵇ) || 'fit' AVJScr: 'fiet' z 151 σου om. P ct. R

152 Αἱρετώτερον λίθον εἰκῆ βάλλειν ἢ λόγον.	152 Melius est lapidem frustra iactare quam verbum.
153 Σκέπτου πρὸ τοῦ λέγειν, ἵνα μὴ λέγῃς ἃ μὴ δεῖ.	153 Delibera antequam dicas, ne quae non expedit dicas.
154 Ῥήματα ἄνευ νοῦ ψόφοι.	154 Verba sine sensu obprobria.
155 Πολυλογία οὐκ ἐκφεύγει ἁμαρτίαν.	155 Verbositas non effugiet peccatum.
156 Βραχυλογίᾳ σοφία παρακολουθεῖ.	156 Brevis est in sermonibus sapiens.
157 Μακρολογία σημεῖον ἀμαθίας.	157 Indicium inperitiae longa narratio.
158 Τὸ ἀληθὲς ἀγάπα.	158 Veritatem ama.
159 Τῷ ψεύδει χρῶ ὡς φαρμάκῳ.	159 Mendacio tamquam veneno utere.
160 Καιρὸς τῶν λόγων σου προηγείσθω.	160 Ante omnia tempus verbis tuis requirito.
161 Λέγε, ὅτε σιγᾶν οὐ καθήκει.	161 Tunc loquere, quando tacere non expedit.
162a Περὶ ὧν οὐκ οἶδας, σιώπα.	162 De quibus ignoras tace,
162b Περὶ ὧν οἶδας, ὅτε δεῖ λέγε.	de quibus autem certus es loquere opportune.
163 Λόγος παρὰ καιρὸν διανοίας ἔλεγχος κακῆς.	163 Sermo extra tempus indicium malitiosae mentis.
163a Ὁπότε δεῖ πράττειν, λόγῳ μὴ χρῶ.	
164 Ἐν συλλόγῳ πρῶτος λέγειν μὴ ἐπιτήδευε.	164 In conventu ne satis agas primus dicere.
164a Ἡ αὐτὴ ἐπιστήμη ἐστὶ τοῦ λέγειν καὶ τοῦ σιωπᾶν.	
165 Ἄμεινον ἡττᾶσθαι τἀληθῆ λέγοντα τοῦ περιγενέσθαι μετὰ ἀπάτης.	165 Melius vinci vera dicentem, quam vincere mentientem.
165a Ὁ νικῶν τῷ ἀπατᾶν νικᾶται ἐν ἤθει.	
165b Μάρτυρες κακῶν γίνονται λόγοι ψευδεῖς.	
165c Μεγάλη περίστασις, ἣ πρέπει ψεῦδος.	
165d Ὁπότε ἁμαρτάνων εἶ τἀληθῆ λέγων, ἀναγκαίως τότε ψευδῆ λέγων οὐχ ἁμαρτήσεις.	
165e Μηδένα ἀπάτα, μάλιστα τὸν συμβουλίας δεόμενον.	
165f Μετὰ πλειόνων λέγων μᾶλλον ὄψει τὰ συμφέροντα.	
166 Πίστις ἁπασῶν καλῶν πράξεων ἡγεμών ἐστιν.	166 Fides omnes actus tuos praecedat.
167 Σοφία ψυχὴν ὁδηγεῖ πρὸς θεόν.	167 Sapientia animam perducit ad deum.

152 Clit. 28 (εἰκῆ λίθον); cf. Reg. Magistri 11 (saec. VII, Gild. p. XXV) 'nam et Origenes sapiens dixit, melius est lapidem in vanum (i. e. εἰκῆ) iactare quam verbum'; Pyth. 7 cf. 27 (Porph. 14) αἱρ. σοι ἔστω (αἱρετωτέρου σοι ὄντος Porph. ἔστω σοι αἱρ. Pyth. 27) λ. εἰ. βάλλειν (v. l. βαλεῖν) ἢ λ. (ἀργόν add. Pyth. 7) ‖ βαλεῖν V ‖ 'verbum' z: 'vanum verbum de deo proferre' Ag; 'facilius est lapidem in hominem conicere quam verbum stultum in virum prudentem' X, unde ne concludas eum legisse ἀργόν   153 cf. 93; Clit. 29 (ἵνα μὴ λέγῃς εἰκῆ cf. s. 152) ‖ πρὶν ἢ λέγειν V cf. 333; 'ante quem' AW ‖ μὴ δὶς λ. V cf. 93: X = P   154 Clit. 30 . . ψόφοι; 'voces inanes et vanae' X: ψόγος PR: φόβος V   155 πολυλογίᾳ οὐκ ἐκφεύξῃ (cf. R) ἁ. Vx(X?) recte cf. Prov. 10, 19; cf. 598 οὐκ ἐκφεύξῃ ἁμαρτίαν ἀναλώμασιν   156 Clit. 31 ‖ βραχυλογία σοφίᾳ PR cf. 155: X(x?) = VClit. ‖ ἀκολουθεῖ V: 'sequitur' X ‖ 'est' PSTGcr: 'erit' zg   157 om. V; Clit. 32 ‖ 'est longa' z exc. PVT
159 Clit. 34 (ὡς φ. χρῶ) ‖ 'm. si oportet tanquam medicamento utere' x   161 sqq. Syros paullum confudit Gild., consentiunt cum V, numeros adscribo   161 X p. 16, 7 x p. 4, 3   162a et b X p. 16, 8 (162b libere, neglecto οἶδας) Clit. 36 (ὃ δεῖ)
163 :— Λόγος V; X p. 16, 9 Clit. 37 (ἀνοίας ἔ. et om. κακῆς) ‖ 'malae mentis' S cf. 83   163a om. PR: X p. 16, 10 (libere, neglecto πράττειν et μὴ) x p. 4, 3 Clit. 35   164 X p. 16, 11 (c. add.) Clit. 39, 1   164a om. PRV: restitui ex X p. 16, 13 ('magna sapientia') x p. 4, 4 = Clit. 38   165 :— Ἄμεινον V; X p. 16, 14 x p. 4, 5 Porph. 14 (post 152) καὶ τὸ ἡ. . . . ἢ νικᾶν ἀπατῶντα ‖ ('melius est' z exc. WLB ‖ ἢ τοῦ P   165a—f om. PR, hab. VX, 165a et e x   165a Porph. 14 (post 165) τὸ γὰρ νικῆσαν ἀπάτῃ ἐν τῷ ἤθει ἥττηται ‖ ἐν ἀληθείᾳ X vid.   165b Porph. 14 (post 165a) μ. δὲ κ. ψευδεῖς λόγοι   165c Clit. 40 μεγάλῃ περιστάσει πρ. ψ., item X (sed 'non decorum est')   165d X p. 16, 19 (libere) ‖ εἰς V   165e X p. 16, 21 x p. 4, 7 (c. add.) Clit. 41 (μάλ. δὲ)   165f X p. 16, 22 = V: Clit. 39, 2 μετὰ (μετὰ γὰρ v. l.) πλείονας λ. ὄψει μᾶλλον τὰ σ. haud inscite cum 164 coniunxit ‖ x p. 4, 9 ad 169 referendum vid.   166 cf. 104; ad s. 196 adnectit x ‖ πίστις ex RX: πιστὸς PV ‖ καλῶν VX: τῶν PR, unde etiam 'praecedat' R cf. 74   167 'animam' Acr: 'animas' z ‖ παρὰ θεῷ πρὸς θεόν P

168 Οὐδὲν οἰκειότερον σοφίᾳ ἀληθείας.

169 Οὐ δυνατὸν τὴν αὐτὴν φύσιν πιστήν τε εἶναι καὶ φιλοψευδῆ.

170 Δειλῇ καὶ ἀνελευθέρῳ φύσει πίστις οὐκ ἂν μετείη.

171 Τὸ λέγειν ἃ δεῖ τοῦ ἀκούειν πιστὸς ὢν μὴ προτίμα.

171ᵃ Ἐν πιστοῖς ὢν μᾶλλον ἄκουε ἤπερ λέγε.

172 Φιλήδονος ἀνὴρ ἄχρηστος ἐν παντί.

173 Ἀνεύθυνος ὢν λόγοις μὴ χρῶ περὶ θεοῦ.

174 Τὰ τῶν ἀγνοούντων ἁμαρτήματα τῶν διδαξάντων αὐτοὺς ὀνείδη.

175 Νεκροὶ παρὰ θεῷ, δι' οὓς τὸ ὄνομα τοῦ θεοῦ λοιδορεῖται.

176 Σοφὸς ἀνὴρ εὐεργέτης μετὰ θεόν.

177 Τοὺς λόγους σου ὁ βίος βεβαιούτω παρὰ τοῖς ἀκούουσιν.

178 Ὃ μὴ δεῖ ποιεῖν, μηδ' ὑπονοοῦ ποιεῖν.

179 Ἃ μὴ θέλεις παθεῖν, μηδὲ ποίει.

180 Ἃ ποιεῖν αἰσχρόν, καὶ προστάττειν ἑτέρῳ αἰσχρόν.

181 Μέχρι καὶ τῷ νῷ καθάρευε τῶν ἁμαρτημάτων.

182 Ἄρχων ἀνθρώπων μέμνησο ἄρχεσθαι παρὰ θεοῦ.

183 Ὁ κρίνων ἄνθρωπον κρίνεται ὑπὸ τοῦ θεοῦ.

184 Μείζων ὁ κίνδυνος δικαζομένου δικαστῇ.

185 Ἅπασι μᾶλλον ἢ λόγῳ βλάπτε ἄνθρωπον.

186 Δυνατὸν ἀπατῆσαι λόγῳ ἄνθρωπον, θεὸν μέντοι ἀδύνατον.

187 Οὐ χαλεπὸν ἐπίστασθαι καὶ ἐν λόγῳ νενικῆσθαι.

